363 νέαν Haupt 364 τλήμον' T (τλάμον' Hermann[1] 420), sed -πήμονες/τλήμονες dittographia videtur: αἶσαν pro εὐνὰν Prien[5] 394: αἰχμ. εὐν. Blomf.[4]: possis e. g. τλαμόνως ⟨φέρουσιν⟩ εὐνὰν {αἰχμ.} 365 ἐντυχόντος Prien[7] 40 ὡς] αἷς Butler 368 παγκλαύστων *β*O*δ*V + K 370 ἡμῖν *Ω* (ὑμῖν O + *δ*V +) 372 τόκος MIQ: τέκος (203) Φ cett. 373 εἰσ M, ἐς Q[t]: εἶσ' Φ cett. ἀρτίκολλον et Σ: -κολλος vel -κόλλως Paley[2] 374 σπουδῆ M[a]*β*O[2]K οὐκ ἀπαρτίζει Σ*Ω*: οὐκαταρτ- Q[a] (et δ'οὐ i. r.): εὖ καταρτ- Weil[7]: οὐ καταργ- anon.[3] 376 ὅστ' M[a] u. v.: πῶς O[ss] τ' del Blomf.[4] πάλω D[2]K (cf. 55. 128. Eum. 32, contra Pers. 779. Ag. 333): πάλου BaΔSd: κλῆρον *δ*V + 377 πύλαισι *Ω* 378 ἰσμ- *Ω*: corr. Groeneboom[4] 379 γίνεται *Ω*: corr. Arsenius 380 κεῖνος δὲ Heimsoeth[3] 164 381 κλαγγαῖσιν (vel κλαγκ-) *Ω*

θείνει δ' ὀνείδει μάντιν Οἰκλείδην σοφόν,
σαίνειν μόρον τε καὶ μάχην ἀψυχίαι.
τοιαῦτ' ἀϋτῶν τρεῖς κατασκίους λόφους
σείει, κράνους χαίτωμ', ὑπ' ἀσπίδος δὲ τῶι
χαλκήλατοι κλάζουσι κώδωνες φόβον·
ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε,
φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον·
λαμπρὰ δὲ πανσέληνος ἐν μέσωι σάκει,
πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμός, πρέπει.
τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σαγαῖς
βοᾶι παρ' ὄχθαις ποταμίαις, μάχης ἐρῶν,
ἵππος χαλινῶν ὣς κατασθμαίνων μένει,
ὅστις βοὴν σάλπιγγος ὁρμαίνει μένων.
τίν' ἀντιτάξεις τῶιδε; τίς Προίτου πυλῶν
κλήιθρων λυθέντων προστατεῖν φερέγγυος;
ΕΤ. κόσμον μὲν ἀνδρὸς οὔτιν' ἂν τρέσαιμ' ἐγώ,
οὐδ' ἑλκοποιὰ γίγνεται τὰ σήματα·
λόφοι δὲ κώδων τ' οὐ δάκνουσ' ἄνευ δορός.
καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος
ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν,
τάχ' ἂν γένοιτο μάντις ἀνοία τινί.

384 resp. Ar. Ach. 965 390 Et. M. 753.15 395–6 v. ad 435; (φερέγγ.) cf. Hsch. (Cyr.) φ 300

---

382 θείνει *δ*Q^{a}: θύνει H: θένει cett. 385 δ'ἐσώ MQ^{2}: δὲ τοῦ H^{ss}: δέ τοι Pauw 386 φόνον (cf. 124) Blaydes^{2} 390 ἄστρον M^{a}I^{t}H^{ss}W^{ss}Q^{a2}: ἀνδρῶν Etym. 392 μάχης δ' I*κλ* 393 δ'ὣς *βδ*V+ 394 βοῆ M^{a}?O^{a}, βοὴ K ὁρμαίνων μένει (ex 393) *κλ*: ὁρμαίνει κλύων Brunck^{2}, Tyrwhitt^{2} ex Σ σάλπιγγος ἀκούων ἐπιθυμῶν πολέμου εἴργεται πρὸς τοῦ ἐπιβάτου 396 κλήθρων MI: κλείθρων cett. 398 γίνεται *Ω*: corr. H^{1} 402 ἢ ἀνοία ΣM^{c}: ἣ ἄνοια fere cett.: ἀγνοίας *μ*K: ἀλλοία Tucker^{4}

εἰ γὰρ θανόντι νὺξ ἐπ' ὄμμασιν πέσοι,
τῶι τοι φέροντι σῆμ' ὑπέρκομπον τόδε
γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον,
καὐτὸς κατ' αὑτοῦ τήνδ' ὕβριν μαντεύσεται.
ἐγὼ δὲ Τυδεῖ κεδνὸν Ἀστακοῦ τόκον
τῶνδ' ἀντιτάξω προστάτην πυλωμάτων,
μάλ' εὐγενῆ τε καὶ τὸν Αἰσχύνης θρόνον
τιμῶντα καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους.
αἰσχρῶν γὰρ ἀργός, μὴ κακὸς δ' εἶναι φιλεῖ.
σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο,
ῥίζωμ' ἀνεῖται, κάρτα δ' ἔστ' ἐγχώριος,
Μελάνιππος· ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ·
Δίκη δ' ὁμαίμων κάρτά νιν προστέλλεται
εἴργειν τεκούσηι μητρὶ πολέμιον δόρυ.

ΧΟ. τὸν ἁμόν νυν ἀντίπαλον εὐτυχεῖν str. 1
θεοὶ δοῖεν, ὡς δικαίως πόλεως
πρόμαχος ὄρνυται· τρέμω δ' αἱματη-
φόρους μόρους ὑπὲρ φίλων
ὀλομένων ἰδέσθαι.

ΑΓ. τούτωι μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοί.
Καπανεὺς δ' ἐπ' Ἠλέκτρασιν εἴληχεν πύλαις·
γίγας ὅδ' ἄλλος, τοῦ πάρος λελεγμένου

403 ὄμμασιν Σ: ὀφθαλμοῖς *Ω* 404 ὑπέρκοπον Zf Zh 405 ὀρθῶς γ' V 406 καθ' αὑτοῦ (vel αὐ-) *Ω* τήνδ' M*κλ*: τὴν cett. μαντεύεται M^{a}H^{a}B^{c} 408 τόνδ' *Ω*: corr. Grotius 19 προστατεῖν ξ^{ss} 410 στυγόνθ' Xc (cf. Supp. 81) 414 Ἄρεως Σ 415 ὁμαίμων Σ M I^{a} + H Θ$^{\gamma\rho}$: ὁ δαίμων $\Sigma_{I}^{\gamma\rho}$ Φ cett. κάρτά sic M I *βδ* 417 νῦν *Ω*: corr. T 418 δίκαιος Pauw: διὰ δίκας Heimsoeth[1] 73 (cl. Cho. 787 ubi Σ δικαίως) 421 ὀλλυμένων I W^{ss} *λ*, ὀλυμένων *β* 422 θεοὶ δοῖεν (418) *Ω*: corr. M^{s} *κλ* 423 ἠλέκτραισιν fere *Ω* (-οισι(ν) *β* Y) 424 γίγασ ⟦.⟧ M

μείζων, ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ·
{πύργοις δ' ἀπειλεῖ δείν', ἃ μὴ κραίνοι τύχη·}
θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν
καὶ μὴ θέλοντός φησιν, οὐδὲ τὴν Διός
ἔριν πέδοι σκήψασαν ἐμποδὼν σχεθεῖν·
τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολάς
μεσημβρινοῖσι θάλπεσιν προσήικασεν.
ἔχει δὲ σῆμα γυμνὸν ἄνδρα πυρφόρον,
φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη·
χρυσοῖς δὲ φωνεῖ γράμμασιν "πρήσω πόλιν".
τοιῶιδε φωτί, πέμπε, τίς ξυστήσεται,
τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ;
ΕΤ. καὶ τῶιδε κέρδει κέρδος ἄλλο τίκτεται.
τῶν τοι ματαίων ἀνδράσιν φρονημάτων
ἡ γλῶσσ' ἀληθὴς γίγνεται κατήγορος.
Καπανεὺς δ' ἀπειλεῖ δρᾶν παρεσκευασμένοις·
θεοὺς ἀτίζων κἀπογυμνάζων στόμα
χαρᾶι ματαίαι θνητὸς ὢν εἰς οὐρανόν
πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη·

435 + 395 (– τῶιδε;) + 396 (φερ.) confuse Plut. Thes. 1.4

---

426 (cf. 549) del. Lachmann[2] 18 κραίνοι MQ[2]*λ*: κράνοι cett. 427 ἐκπέρσαι *a*K 428 οὐδ' ἔτ' ἂν Tucker[4] (cf. 469. Eur. Pho. 1175) 429 πέδοι Dind.[4] (cf. Prom. 272): πέδωι M, -ω cett. ἐκποδὼν I[a]*βγ*W[t]V + *κ* σχέθειν *Ω*: corr. Blomf.[4] 430 κεραυνίας *λ* 431 προσήικασεν M: προσείκασεν cett. 432 γυμνὸν] δεινόν NdXc[γρ] 433 χεροῖν Dind.[9] 196 435 πέμπε fort. ex 470: φράζε Hartung ξυμβήσεται Plut. 436 κομπάσαντα M*aβ*K 438 βουλευμάτων O 439 γίνεται *Ω*: corr. Porson[1] διδάσκαλος I[γρ]B[gl]O[t]Y[t]V[gl*] 440 παρεσκευασμένοις· Weil[7]: -μένος *Ω* (-μένοι Rc): -μένους Schütz[2]. cf. Eur. Hcld. 691 441 θεοὺς δ' Weil[7] (τ' Pauw) 443 γεγωνᾶ(ι) *Ω* (-νὼς La[c]): corr. Brunck[1]

πέποιθα δ' αὐτῶι ξὺν δίκηι τὸν πυρφόρον
ἥξειν κεραυνόν, οὐδὲν ἐξεικασμένον.
{μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου.}
ἀνὴρ δ' ἐπ' αὐτῶι, κεἰ στόμαργός ἐστ' ἄγαν,
αἴθων τέτακται λῆμα, Πολυφόντου βία,
φερέγγυον φρούρημα, προστατηρίας
Ἀρτέμιδος εὐνοίασι σύν τ' ἄλλοις θεοῖς.
λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα.

ΧΟ. ὄλοιθ' ὃς πόληι μεγάλ' ἐπεύχεται, ant. 1
κεραυνοῦ δέ νιν βέλος ἐπισχέθοι
πρὶν ἐμὸν εἰσθορεῖν δόμον πωλικῶν θ'
ἑδωλίων ὑπερκόπωι
δορί ποτ' ἐκλαπάξαι.

ΑΓ. {καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις}
λέξω· τρίτωι γὰρ Ἐτεόκλωι τρίτος πάλος
ἐξ ὑπτίου'πήδησεν εὐχάλκου κράνους,
πύλησι Νηΐστησι προσβαλεῖν λόχον.

449 cf. Hsch. φ 301 **451** resp. Pl. Rep. 550c

---

445 incipit A ἐξηκασμένον M (η M[c])I[a] docte sed non recte **446** del. Verrall[5] (cf. Ag. 1244) **448** αἶθον Φ[γρ] O[t] **450** εὐνοίαισ(ι) Ω (-ᾶισι H) (ἄλλ)ων (θε)ῶν C[2ss], cf. Σ Ἀρτέμιδος καὶ τῶν ἄλλων πολιούχων θεῶν **452** πόλει Ω **453** μιν Ω: corr. Brunck[1] (auctore Valckenaer[2] ad Hipp. 1253) **455** ἑδωλίων μ' Hermann[32] ὑπερκόπω O[a2]: -κόμπω fere cett. **457** del. H. Wolf **460** πύλησι Tucker[4]: -αισι Ω νηΐστησι M[a] (-ηισι) V*: νηΐτησι fere cett. (-τισι H O A W[t] Q λ, -τοισι Y, -ταισι K). cf. Eur. Pho. 1104 (ubi νηΐσταισ pap. Rain. et cod. C) cum sch., Stat. Theb. 8.354 *Neistae*, Hsch. ν 458 νήϊϊ·ταῖς πύλαις, Wil. Kl. Schr. V(1) 49; nihil docent codd. Paus. 9.8.4, 9.25.1

ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας
δινεῖ, θελούσας πρὸς πύλαις πεπτωκέναι·
φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον
μυκτηροκόμποις πνεύμασιν πληρούμενοι.
ἐσχημάτισται δ' ἀσπὶς οὐ σμικρὸν τρόπον·
ἀνὴρ δ' ὁπλίτης κλίμακος προσαμβάσεις
στείχει πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων·
βοᾶι δὲ χοὗτος γραμμάτων ἐν ξυλλαβαῖς,
ὡς οὐδ' ἂν Ἄρης σφ' ἐκβάλοι πυργωμάτων.
καὶ τῶιδε φωτὶ πέμπε τὸν φερέγγυον
πόλεως ἀπείργειν τῆσδε δούλιον ζυγόν.
ΕΤ. {πέμποιμ' ἂν ἤδη τόνδε, σὺν τύχηι δέ τωι·}
καὶ δὴ πέπεμπται, κόμπον ἐν χεροῖν ἔχων,
Μεγαρεύς, Κρέοντος σπέρμα τοῦ σπαρτῶν γένους,
ὃς οὔ τι μάργων ἱππικῶν φρυαγμάτων
βρόμον φοβηθεὶς ἐκ πυλῶν χωρήσεται,
ἀλλ' ἢ θανὼν τροφεῖα πληρώσει χθονί
ἢ καὶ δύ' ἄνδρε καὶ πόλισμ' ἐπ' ἀσπίδος
ἑλὼν λαφύροις δῶμα κοσμήσει πατρός.
κόμπαζ' ἐπ' ἄλλωι, μηδέ μοι φθόνει λέγων.

462 πύλας Y*μ* **463** τρόπον (cf. 465)] νόμον Prien[6] 30: βρόμον (476) Schütz[2] **465** ἐσημάτισται M^{c}I (εἰσημ- M^{a}): σεσημ- Weil[7] σμικρὸν YQ: μικρὸν cett. τύπον (cf. 488) Halm[1] 333 **466** δ' del Blomf.[4] προσαμβάσεις LcFd Σ* 466i: πρὸς ἀμβ- *Ω* **467** ἐκπρῆσαι H^{t}B, ἐκπερῆσαι I **468** ξυλλαβαῖς M*ακλ*: συλλ- cett. **471** δούλιον O^{a}?: -ειον cett. **472** del. Harberton[1] (472-3 Dind.[9] 197.211) δ' ἴτω Musgrave, sed cf. Cho. 138 **473** πέπεμπται Q^{2γρ}P^{ss}T: πέπεμπτ'οὐ MO + *δ*: πέμπτ'οὐ *β*W^{a}: πέμπετ'οὐ cett.: πέμπεται *β*^{γρ} χεροῖν *Ω* (χερσὶν *β*) **474** σπαρτοῦ MIA **475** μάργον anon.[2] **480** ἐπ'ἄλλον Nc*μ*: ἔτ' ἄλλον Blomf.[4] λέγων] λύων A^{γρ}: λίαν *λ*K^{γρ}: λόγων anon.[2]

ΧΟ. ἐπεύχομαι δὴ σὲ μὲν εὐτυχεῖν, ἰὼ str. 2
πρόμαχ' ἐμῶν δόμων, τοῖσι δὲ δυστυχεῖν·
ὡς δ' ὑπέραυχα βάζουσιν ἐπὶ πτόληι
μαινομέναι φρενί, τώς νιν
Ζεὺς νεμέτωρ ἐπίδοι κοταίνων.

ΑΓ. τέταρτος ἄλλος γείτονας πύλας ἔχων
Ὄγκας Ἀθάνας ξὺν βοῆι παρίσταται,
Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος·
ἅλω⟨ν⟩ δὲ πολλήν, ἀσπίδος κύκλον λέγω,
ἔφριξα δινήσαντος· οὐκ ἄλλως ἐρῶ.
ὁ σηματουργὸς δ' οὔ τις εὐτελὴς ἄρ' ἦν,
ὅστις τόδ' ἔργον ὤπασεν πρὸς ἀσπίδι,
Τυφῶν ἱέντα πυρπνόον διὰ στόμα
λιγνὺν μέλαιναν, αἰόλην πυρὸς κάσιν·
ὄφεων δὲ πλεκτάνησι περίδρομον κύτος
προσηδάφισται κοιλογάστορος κύκλου.
αὐτὸς δ' ἐπηλάλαξεν, ἔνθεος δ' Ἄρει
βακχᾶι πρὸς ἀλκὴν θυιὰς ὥς, φόβον βλέπ⌋ων.

487 (Ὄ. Ἀθ.) Hsch. ο 36 488 Prisc. De metr. Ter. 23 (GL III 427.28 K.) 489–90 (– δια.) sch. Ar. Vesp. 18; (ἅλω) Hsch. α 3373

481 σὲ Murray[1]: τάδε *Ω* (τῶδε *κλ*) εὐτυχεῖν σε WD, cf. Φ 483 βάζουσιν Q[1] *λ*: -ουσ' *Ω* πτόλει M*a*Q: πόλει fere cett. (πόλιν O) 487 σὺν *κ* 488 τό γ' ἱππο- T σχῆμα et Σ: CЄMA vel CЄNA codd. Prisc.: λῆμα Heimsoeth[3] 242 κτύπος YNc 489 ἅλω *Ω* sch. Ar. v. praef. 490 incipit N 491 ἄρ' ἦν] ἀνὴρ *κλ* 492 ἀσπίδα IA[a] 493 τυφῶν' *Ω* (et 511), at cf. 517. Supp. 560. Ag. 656 πυρπνόον sic omnes (et 511) 495 πλεκτάναισι *Ω* 497 ἐπηλάλαζεν D*λ* ἄρει YN[c]*κλ*: ἄρηι M: ἄρη IO[c]AD: ἄρην Φ cett.: ἄρεως Ba[a2] 498–503 frustula Π2 498 βάκχα MΦ[γρ]I[t] θυὰς *Ω*: corr. T φόνον Lb[a]?, Canter

τοιοῦδε φωτὸς πεῖραν εὖ φυλακτέον·⌋
Φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται.⌋
ΕΤ. πρῶτον μὲν Ὄγκα Παλλάς, ἥτ' ἀγχί⌋πτολ⌊ι⌋ς
πύλησι γείτων, ἀνδρὸς⌋ ἐχθαίρουσ' ὕβριν
εἴρξει, νεοσσῶν ὥς δράκοντα δύσχιμ⌋ον·
Ὑπέρβιος δέ, κεδνὸς Οἴνοπος τόκος,
ἀνὴρ κατ' ἄνδρα τοῦτον ἡιρέθη, θέλων
ἐξιστορῆσαι μοῖραν ἐν χρείαι τύχης,
οὔτ' εἶδος οὔτε θυμὸν οὐδ' ὅπλων σχέσιν
μωμητός. Ἑρμῆς δ' εὐλόγως ξυνήγαγεν·
ἐχθρὸς γὰρ ἀνὴρ ἀνδρὶ τῶι ξυστήσεται,
ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδων
θεούς· ὃ μὲν γὰρ πυρπνόον Τυφῶν ἔχει,
Ὑπερβίωι δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδος
σταδαῖος ἧσται, διὰ χερὸς βέλος φλέγων.
{κοὔπώ τις εἶδε Ζῆνά που νικώμενον.}
τοιάδε μέν τοι προσφίλεια δαιμόνων·
πρὸς τῶν κρατούντων δ' ἐσμέν, οἳ δ' ἡσσωμένων,
εἰ Ζεύς γε Τυφῶ καρτερώτερος μάχηι·
519 εἰκὸς δὲ πράξειν ἄνδρας ὧδ' ἀντιστάτας,
518 Ὑπερβίωι τε πρὸς λόγον τοῦ σήματος
σωτὴρ γένοιτ' ἂν Ζεὺς ἐπ' ἀσπίδος τυχών.

500 φόβον H[1]B[×] Y*δ* 501 πρῶτον M*κ*: πρῶτα cett. (πρώτα Lh[c]): πρώτη Blomf.[4]: possis θεῶν ἤδ' Pearson[1]: ἤ γ' anon.[2,3] 502 πύλαισι *Ω* (γείτων πύλαισιν *λ*) 504 τε *β* τέκος H 506 τύχης] δορός (Soph. Ai. 963) Fb[γρ] 507 οὐδ'] οὔθ' *κ* 508 ξυνήγαγεν Q*λ*: συν- cett. (μετ- H[γρ]) 509 ἀνὴρ *Ω* ξυνστ- M[s] (ξυντ- M[a]) *β*N 510 συνοίσετον Q*λ*: ξυνήσετον A fort. ἀσπίδοιν 511 cf. ad 493 512 ὑπ' *β* 513 ἧπται Gronewald[2] φέρων Q[2]K[γρ] *λ* 514 del. Hermann[32] (e Promethia trilogia ductum esse ci. Fraenkel[2] 304): post 517 trai. Weil[7], cf. Eur. Hcld. 347–52 οἶδε YK 516 δ' prius om. *γ* 519 post 517 ΦI[1]O[2]Q[a2]: post 518 M[a2]: om. I[a] A: post 516 cett.: post 515 Kirchhoff[2] γε πρᾶξιν M 518 δὲ Butler 520 ἂν om. Q*λ*

ΧΟ. πέποιθά ⟨τοι⟩ τὸν Διὸς ἀντίτυπον ἔχοντ' ant. 2
ἄφιλον ἐν σάκει τοῦ χθονίου δέμας
δαίμονος, ἐχθρὸν εἴκασμα βροτοῖς τε καὶ
δαροβίοισι θεοῖσιν,
πρόσθε πυλᾶν κεφαλὰν ἰάψειν.

ΑΓ. οὕτω γένοιτο. τὸν δὲ πέμπτον αὖ λέγω,
πέμπτησι προσταχθέντα Βορραίαις πύλαις
τύμβον κατ' αὐτὸν Διογενοῦς Ἀμφίονος·
ὄ⌊μνυσι δ' αἰχμὴν ἣν ἔχει, μᾶλλον θεοῦ
σ⌊έβειν πεποιθὼς ὀμμάτων θ' ὑπέρτερον,
ἦ μ⌊ὴν λαπάξειν ἄστυ Καδμείων βίαι.
Ἄρεως τόδ' αὐδᾶι μητρὸς ἐξ ὀρεσκόου
βλάστημ⌊α καλλίπρωιρον, ἀνδρόπαις ἀνήρ·
στείχει δ' ἴ⌊ουλος ἄρτι διὰ παρηΐδων,
Ὥρας φυο⌊ύσης, ταρφὺς ἀντέλλουσα θρίξ·
ὃ δ' ὠμόν, ⌊οὔ τι παρθένων ἐπώνυμον

531 cf. ad 47 533 (καλλ.) Hsch. κ 484; (ἀνδρόπαις) resp. Tz. in Lyc. 1345

---

521 ⟨τοι⟩ Blaydes[7] 78: δὴ TF[c] 523 δαίμονος Brunck[1] ex Σ: δαίμοσιν *Ω* ἐχθρῶν Φ*β*Y + *δ*V + βροτοῖς *μ*: -οῖσι *Ω* τε] γε WDV: om. OT 526 οὕτω *κλ*: -ως *Ω* 527 πέμπταισι *Ω* προσταθέντα *β*: -ταγέντα K*λ* Βορραίαις Canter: βοραίαις KXc: βορρέαις M*a*HA[a]W*ε*, βορέαις cett.: Βορεαίαις Wackernagel[2] 14/1045: Βορεάσιν Hutchinson[2] post 528 versum Parthenopaei nomen continentem desid. Ritschl[5] 797/356 (post 526 Dind.[12]); cf. 377.423.458.488.569.632 necnon 536 529–52 frustula Π2 530 θ'] δ' *αβ*A: om. Q[a2] 532 Ἄρεως Weil[1] 232 cl. Apollod. 3.109: δορός· Π2I[γρ]Y[c]*δ*[γρ]*κ*[γρ]*λ*: διός· cett. nempe βίαι Ἄρεως una constructum est, mox bifariam falsificatum μητρὸς *β*V: μρς Y: ματρὸς cett. 535 ἀνατέλλουσα NQ 536 οὔτοι T

φρόνημα, ⌊γοργὸν δ' ὄμμ' ἔχων, προσίσταται.
οὐ μὴν ἀκ⌊όμπαστός γ' ἐφίσταται πύλαις·
τ⌋ὸ γὰρ πόλε⌊ως ὄνειδος ἐν χαλκηλάτωι
σάκ⌋ει, κυκ⌊λωτῶι σώματος προβλήματι,
Σφί⌋γγ' ὠμ⌊όσιτον προσμεμηχανημένην
γόμ⌋φοις ἐν⌊ώμα, λαμπρὸν ἔκκρουστον δέμας,
φέρει δ' ὑφ' α⌊ὐτῆι φῶτα Καδμείων ἕνα,
ὡς πλεῖστ' ⌊ἐπ' ἀνδρὶ τῶιδ' ἰάπτεσθαι βέλη.
ἐλθὼν δ' ἔο⌊ικεν οὐ καπηλεύσειν μάχην,
μακρᾶς κελ⌊εύθου δ' οὐ καταισχυνεῖν πόρον,
Παρθενοπ⌊αῖος Ἀρκάς. ὅδε τοιόσδ', ἀνὴρ
μέτοικο⌊ς, Ἄργει δ' ἐκτίνων καλὰς τροφάς
πύργοις ⌊ἀπειλεῖ τοῖσδ' ἃ μὴ κραίνοι θεός.
ΕΤ. εἰ γὰρ τ⌊ύχοιεν ὧν φρονοῦσι πρὸς θεῶν
αὐτοῖ⌊ς ἐκείνοις ἀνοσίοις κομπάσμασιν·
ἦ τἂν ⌊πανώλεις παγκάκως τ' ὀλοίατο.
ἔστιν δὲ καὶ τῶιδ' ὃν λέγεις τὸν Ἀρκάδα
ἀνὴρ ἄκομπος, χεὶρ δ' ὁρᾶι τὸ δράσιμον,
Ἄκτωρ, ἀδελφὸς τοῦ πάρος λελεγμένου·
ὃς οὐκ ἐάσει γλῶσσαν ἐργμάτων ἄτερ
εἴσω πυλῶν ῥέουσαν ἀλδαίνειν κακά,

545 (οὐ –) resp. Tz. Hist. 4.990 554 Tz. Hist. 4.993, Epist. p. 3.9 L.

---

537 φρουρημα (449) Π_2 τ' IQ: om. WD[a] post h.v. 547–9 trai. Kirchhoff[2]: adversatur Fraenkel[2] 305–8 541 προσμεμηχανευμένην B[ss] Y W D *ε λ* 542 [...]ποισεν[Π_2 (κόμποις ci. Gronewald[1] 119) 543 ὑπ' αὐτῆ(ι) Π_2 *β*: ὑφ' αὐτὴν *γ* 545 μάχης O[a2] Y[ss] 546 καταισχυνεῖ Lc Fd 547 ὁ παρθ- *μ* (contra Π_2) ὅδε (cf. 395.424.470) Σ[I γρ] Xc: ὁ δὲ *Ω* 548 del. Hutchinson[2] (habet Π_2) 549 (cf. 426) del. Wil.[18] 111 τοῖσδ'] δείν' (426) O[mg] Q[2γρ] *λ* κράνοι I *β γ* W *ε* K 552 τ' om. I O[a1] 557 εἴσω Y: ἔξω Q *λ*: ἔσω cett.

οὐδ' εἰσαμεῖψαι θηρὸς ἐχθίστου δάκος
{εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος}
ἔξωθεν εἴσω. τῶι φέροντι μέμψεται,
πυκνοῦ κροτησμοῦ τυγχάνουσ' ὑπὸ πτόλιν.
θεῶν θελόντων τἂν ἀληθεύσαιμ' ἐγώ.

ΧΟ. ἱκνεῖται λόγος διὰ στηθέων, str. 3
τριχὸς δ' ὀρθίας πλόκαμος ἵσταται
μεγάλα μεγαληγόρων κλυούσαι
ἀνοσίων ἀνδρῶν· εἰ θεοὶ θεοί,
τούσδ' ὀλέσειαν ἐν γᾶι.

ΑΓ. ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστατον,
ἀλκὴν ἄριστον μάντιν, Ἀμφιάρεω βίαν·
Ὁμολωΐσιν δὲ πρὸς πύλαις τεταγμένος
κακοῖσι βάζει πολλὰ Τυδέως βίαν,
τὸν ἀνδροφόντην, τὸν πόλεως ταράκτορα,
μέγιστον Ἄργει τῶν κακῶν διδάσκαλον,
Ἐρινύος κλητῆρα, πρόσπολον Φόνου,

570 cf. Hsch. ο 776

558 ἔχθιστον Blaydes[7] 200 δάκος W[a] V K[c]: δάκους cett. 559 del. Weil[14] 31 ὑπ' O 561 πικροῦ D Nc K[γρ], v. Dawe[1] 70 562 τ'ἂν N P[ss] (τἂν Monk[1] 221): ἂν H O + W D V *κ*: om. Y: δ'ἂν M *a* B A *λ* 563 χόλος O[a2] 564 ὄρθιος Rc (non Θ) 565–614 deest H 565 μεγαλαγόρων Blaydes[2], cf. Eur. Pho. 184 κλυούσαι Hermann[18] 279: κλύουσα I[c] B[γρ], -ουσ' Nc X: κλύων Φ cett.: κλυούσας Dind.[9] 201: -ούσαις Hutchinson[2] 566 εἰ θεοὶ M I[γρ], εἴθε οἱ *a* B + *γ δ ε* Q[2]: εἴθε γὰρ *κ λ* 567 τάσδ' B[a]: τᾶιδ' Dawe[1] 168 ἐκ γᾶς Blaydes[2]: ἔμπας Wecklein[11] 568 σωφρονέστερον Y + *δ ε λ* 569 ἀλκὴν V Ga[a]: ἀλκὴν δ' D: ἀλκήν τ' cett. ἀμφιάρεω⟦ν⟧ M: ἀμφιάρεων (om. βίαν) T Lc F[c], βίαν om. et K 573 τὸν B O[t] Y[a2] *λ* κακὸν O[a2] Y[a] 574 φόβου M[a]

κακῶν δ' Ἀδράστωι τῶνδε βουλευτήριον·
καὶ τὸν σὸν αὖθις †πρὸς μόραν ἀδελφεόν†,
ἐξυπτιάζων ὄμμα, Πολυνείκους βίαν,
δισσῆι τελευτῆι τοὔνομ' ἐνδατούμενος
καλεῖ· λέγει δὲ τοῦτ' ἔπος διὰ στόμα·
"ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλὲς
καλόν τ' ἀκοῦσαι καὶ λέγειν μεθυστέροις,
πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
πορθεῖν, στράτευμ' ἐπακτὸν ἐμβεβληκότα;
μητρός τε πηγὴν τίς κατασβέσει δίκη,
πατρίς τε γαῖα σῆς ὑπὸ σπουδῆς δορὶ
ἁλοῦσα πῶς σοι ξύμμαχος γενήσεται;
ἔγωγε μὲν δὴ τήνδε πιανῶ χθόνα,
μάντις κεκευθὼς πολεμίας ὑπὸ χθονός·
μαχώμεθ'· οὐκ ἄτιμον ἐλπίζω μόρον."
τοιαῦθ' ὁ μάντις ἀσπίδ' εὔκηλος νέμων

590–1 sch. Eur. Pho. 1111

---

575 τ' M N^{2} Q *λ* 576 πρὸσμόραν M(` del. M^{c})A: πρόσμορον fere cett. (πρὸς μόρον O Q^{c}, πρόςμορον D): πρόσπορον Σ$_{I}^{γρ}$ B^{γρ} W^{ss} D^{ss}: προσθροῶν Francken: προυσελῶν M. Schmidt^{5} 629, ^{6}584 ἀδελφὸν *γ*: ὁμόσπορον Burges^{1} 134 577 ὄμμα Schütz^{2}: ὄνομα (578) Σ *Ω* 578 δισσῆι Herwerden^{2} 2: δίς τ'ἐν *Ω*: δυσεκτέλεστον Voss, -τέλευτον Hermann^{32} praeeunte Schütz$^{2.6}$ 579 del. Verrall^{5} λέγει] φέρει Headlam^{1} 76 τοῦπος *γδε* 580 τοῖον] θεῖον Rob.: possis λῷιον, cf. ad Supp. 400 584 δὲ I: γε Ξa πληγὴν Seidler^{0} δίκην M^{a}B^{a}Q^{2} 585 πατρός Y^{r}*δε* τε *γδ*V + K: om. N^{a2}: δὲ cett. 586 ξύμ- M Q *λ*: σύμ- cett. 588 ὑπὸ I B + *γ* W D *ε* Θ: ἐπὶ M Φ A *κλ* 590 τοιάδ' Q *λ*: τοίαν sch. Eur. εὔκηλος Prien^{6} 20.31 n. 1: εὔκηλον M: εὔκυκλον (642) M^{γρ} cett.: ἔγκυκλον sch. Eur.: εὐκήλως Hartung νέμων M^{γρ} et plerique: ἔχων M^{r}B + sch. Eur.: ἐμὸν N

πάγχαλκον ηὔδα. σῆμα δ' οὐκ ἐπῆν κύκλωι·
οὐ γὰρ δοκεῖν ἄριστος ἀλλ' εἶναι θέλει,
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.
τούτωι σοφούς τε κἀγαθοὺς ἀντηρέτας
πέμπειν ἐπαινῶ· δεινός, ὃς θεοὺς σέβει.
ΕΤ. φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς
δίκαιον ἄνδρα τοῖσι δυσσεβεστέροις.
ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς
κάκιον οὐδέν, καρπὸς οὐ κομιστέος·
{ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται.}
ἢ γὰρ ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ
ναύτησι θερμοῖς καὶ πανουργίαι τινί
ὄλωλεν ἀνδρῶν ξὺν θεοπτύστωι γένει,
ἢ ξὺν πολίταις ἀνδράσιν δίκαιος ὢν
ἐχθροξένοις τε καὶ θεῶν ἀμνήμοσιν

592–4 Plut. Quom. adul. poet. aud. d. 32d, Reg. et imp. Apopth. 186b, Vit. Aristid. 3.5, Stob. 2.15.3; 592–3 Damasc. Vit. Isid. p. 198.2 Z.; 592 Clem. Str. 1.1.6.3, Liban. Ep. 665.4 (X 607.10 F.), Tz. Hist. 4.994, Epist. p. 3.1 L., et resp. Pl. Rep. 361b, 362a; 593–4 ib. 362a, Plut. De cap. ex inim util. 88b, cf. Eu. 360.38; (βαθ. αὔλακα) Phot. β 19, Sud. β 27, Et.G. β 9 (M. 185.31), cf. Hsch. (Cyr.) β 42; 594 Eu. 78.44; (κεδ. –) id. 720.7

---

591 ηὔδα] ἕρπει sch. Eur. 592 δίκαιος testes plerique duce Plat. 362a 593 φρενῶν Damasc. 594 ἀφ' Plut. vit., Mor. 32e, 186b^{vl} (sed ἐξ 88b) 596 σέβει θεούς *λ* 597 συν- Q*λ* βροτοὺς MW^{t}D^{ss}V^{t}N$^{\times}$ 598 δυσ(σ)εβεστάτοις YQ^{2}*λ* (non Φ) 601 del. Musgrave 603 ναύτη(ι)σι *Ω*: -αισι T καὶ] ἐν *κ* (gl. in aliis) 604 ξὺν Brunck^{1}: σὺν *Ω* θεομίσω *γδε*Q^{2γρ}: θεοσέπτω *λ* 605 ξυμπολίταις ODQ*λ*: -ίτης Schütz^{2}

ταὐτοῦ κυρήσας ἐκδίκως ἀγρεύματος
πληγεὶς θεοῦ μάστιγι παγκοίνωι δάμη.
οὕτω δ' ὁ μάντις, υἱὸν Οἰκλέους λέγω,
σώφρων δίκαιος ἀγαθὸς εὐσεβὴς ἀνήρ,
μέγας προφήτης, ἀνοσίοισι συμμιγείς
θρασυστόμοισιν ἀνδράσιν βίαι φρενῶν
τείνουσι πομπὴν τὴν μακρὰν πάλιν μολεῖν
Διὸς θέλοντος ξυγκαθελκυσθήσεται.
δοκῶ μὲν οὖν σφε μηδὲ προσβαλεῖν πύλαις,
οὐχ ὡς ἄθυμον οὐδὲ λήματος κάκηι,
ἀλλ' οἶδεν ὥς σφε χρὴ τελευτῆσαι μάχηι,
εἰ καρπὸς ἔσται θεσφάτοισι Λοξίου·
φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια.
ὅμως δ' ἐπ' αὐτῶι φῶτα, Λᾱσθένους βίαν,
ἐχθρόξενον πυλωρὸν ἀντιτά⌋ξομεν·
γέροντα τὸν νοῦν, σάρκα δ' ἡβῶσαν⌋ φύε⌊ι·
ποδῶκες ὄμμα· χεῖρα δ' οὐ βραδύνετ⌋αι
παρ' ἀσπίδος γυμνωθὲν ἁρπ⌋άσαι δο⌊ρ⌋ί·
θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖ⌋ν βροτούς.

607 post 608 Dind.[9] 202: post 603 Haupt ἐκδίκως M O Q *λ*: ἐνδίκως Φ cett.: ἐκδίκοις Prien[5] 405: ταὐτῶι κ. ἐν Δίκης ἀγρεύματι Schütz[6] 608 παγκοίνως Q[t] *λ* 609 οὕτω Q[a] K[γρ], οὕτως M[a] *a* Q[2]: οὗτος M[c] Φ cett. 610 del. Kiehl[1] 59: citius crediderim verba ἀγαθὸς – προφήτης insufflata esse εὐγενὴς Q *λ* τ' ἀνήρ Blaydes[2] 612 θρ. τ' id. ib. φρενῶν βία O *μ* 613 post 603 Bergk[3] οἶ μακρὸν Hutchinson[2] πάλιν Σ M I B[γρ] A: πόλιν cett. 614 ξυγ- Lc: συγ- *Ω* 615 redit H 616 ἄθυμον G[a?] P[ss]: -ος *Ω* 617 ὥσφε M[a] B A W V[a1] (ὡς ἔφη Va) L[a]: οἶ σφε Tucker[4] 618 ἔσται et Σ? Φ: ἐστι Q *λ* θεσφάτοις τοῦ Q[a] *λ* 619 susp. Pearson[1] 'et solet quidem (deus), si quid dicit, verum dicere' 621–38 frustula Π_3 622 φύει I O[a]? Fd[ss] (deletum) Rc[gl]: φύσει Π_3 M B[γρ] O[c] Y *κ*: evan. H[t]: φέρει H[γρ] Θ cett. 623 οἶμα Weil[13] 82: possis ὁρμᾶι χειρὶ Hartung 624 δορί Yd: δόρυ *Ω* (de Π_3 non liquet) 625 θεῶν Rb βροτοις Π_3

ΧΟ. κλυόντες θεοὶ δικαί⌋ους λιτὰς ant. 3
ἁμετέρας τελεῖθ', ὡς πό⌋λις εὐ⌊τυχ⌋ῆι,
δορίπονα κάκ' ἐκτρέποντες ⟨εἰς⟩ γᾶς
ἐπιμόλους· πύργων δ'⌋ ἔκτοθεν ⌊βαλὼν
Ζεύς σφε κάνοι κεραυ⌋νῶι.

ΑΓ. τὸν ἕβδομον δὴ τόνδ' ἐφ' ἑβδόμαις πύλ⌋αι⌊ς
λέξω, τὸν αὐτοῦ σὸν κασίγνητον, πόληι⌋
οἵας ἀρᾶται καὶ κατεύχεται τύχας ⌋
{πύργοις ἐπεμβὰς κἀπιγηρυθεὶς χθον⌋ί}
ἁλώσιμον παιῶν' ἐπεξιακ⌋χάσα⌊ς·
σοὶ ξυμφέρεσθαι καὶ κταν⌋ὼ⌊ν⌋ θανεῖν ⌊πέ⌋λας
ἢ ζῶντ' ἀτιμαστῆρα τὼς ἀ⌋νδρηλάτην
φυγῆι τὸν αὐτὸν τόνδε τείσ⌋ασθαι τρόπ ⌊ο⌋ν.
τοιαῦτ' ἀϋτεῖ, καὶ θεοὺς γενεθλίους
καλεῖ πατρῴας γῆς ἐποπτῆρας λιτῶν
τῶν ὧν γενέσθαι πάγχυ Πολυνείκους βία.

635 (παι.) resp. Serv. auct. ad Aen. 10.738

---

626 κλυόντες Wil.[19]: κλύοντες *Ω* δικαί⌋ους $Π_3$ I*β*Y*δεκλ* M^2: -ας MO + Q: -ως Dawe[1] 182 cl. 172 (v.l.) 627 ἡμετέρας *Ω*: corr. Dind.[9] 203 628 δορύπονα YQ^cλΘ ἐς γᾶς Hermann[18] 279: γᾶς M*ακλ*: γᾶς πρὸς *βγδε*: γᾶς εἰς M^2I^2 631 τόν γ' *μ* 632 λέξω (458) *Ω*: λέγω (526) La σὸν (cf. Ag. 1323) T. Burgess 129: σοῦ *Ω* πόλει *Ω* 633 οἵας IQ^2K^a: οἷά γ' MH$B^{as}O^{a2}A^cW^{ss}$*ε*: οἷα θ' A^a: οἵας γ' fere cett. (γὰρ Y) 634 susp. Wecklein[11], 634–5 del. Harberton[1]; ad portas stat Polynices, non super moenia (καπι)γηρυθεις $Π_3^{mg}$ (periit textus): -κηρυχθεὶς *Ω*: -γυρωθεὶς $P^{γρ}$ 635 παιᾶν' *Ω*: corr. Wil.[19] 636 ξυμ- M*κλ*: συμ- cett. 637 textus dubius ζῶν Schütz[2]: ζῶν σ' Heimsoeth[1] 42 τώς σ' Y + *δεκλ*: τως δ' ex τονδ' (638) H ἀνδρηλάτηι vel -τῶν (hoc contra $Π_3$) Blomf.[4] 638 τίσασθαι *Ω* (-σεσθαι GaLb^c contra $Π_3$): corr. Wil.[19] 640 γᾶς Y*δε*Q*λ* 641 del. Paley[4]

ἔχει δὲ καινοπηγὲς εὔκυκλον σάκος,
διπλοῦν τε σῆμα προσμεμηχανημένον·
χρυσήλατον γὰρ ἄνδρα τ⌋ευχ⌊ηστὴν ἰδεῖν
ἄγει γυνή τις σωφρ⌋όν⌊ω⌋ς ἡγ⌊ουμένη·
Δίκη δ' ἄρ' εἶναί φησ⌋ιν, ὡς τὰ γράμμα⌊τα
λέγει, "κατάξω δ' ἄνδ⌋ρα τόνδε, κα⌊ὶ⌋ πόλ⌊ιν
ἕξει πατρώιαν δω⌋μάτων τ' ἐπ⌊ι⌋στροφ⌊άς".
τοιαῦτ' ἐκείνων ἐσ⌋τὶ τἀξευρήματα·
σὺ δ' αὐτὸς ἤδη γνῶ⌋θι τ⌊ί⌋να πέμπειν δοκεῖ·
ὡς οὔποτ' ἀνδρὶ τῶιδε⌋ κη⌊ρ⌋υκευμάτων
μέμψηι· σὺ δ' αὐτὸς γν⌋ῶθι ναυκληρεῖν πό⌊λιν.
ΕΤ. ὦ θεομανές τε καὶ⌋ θεῶν ⌊μ⌋έγα στύγος,
ὦ πανδάκρυτον ἁμ⌋ὸν Οἰδίπου γένος·
ὤιμοι, πατρὸς δὴ νῦ⌋ν ἀραὶ τελεσφόρο⌊ι.
ἀλλ' οὔτε κλαίειν οὔτ'⌋ ὀδύρεσθαι π⌊ρέπει,
μὴ καὶ τεκνωθῆι δυσφορώτερος γόος.
ἐπωνύμωι δὲ κάρτα, Πολυνείκει λέγω,
τάχ' εἰσόμεσθα τοὐπίσημ' ὅποι τελεῖ,
εἴ νιν κατάξει χρυσότευκτα γράμματα

642 εὔθετον Σ^{γρ}Q*λ*: possis εὔδετον (cf. 43.161) 643 προσμεμηχανευμένον O^{1}YW^{ss}*ελ* 644–56 frustula Π3 644 τευχηστὴν M*aλ*: -ιστὴν fere cett.: fort. rectius -εστὴν 645 ἠσκημένη (contra Π3) Butler, cf. Pers. 182 647 λέξει M^{1}I^{t}O + AD 648 πατρῶαν *κλ*: -ώων cett. τ' et Π3: om. M^{a}I^{a}O + N+ 649 ἐκείνω Y^{c} + Xc: ἐκείνωι γ' Pauw 650 del. Halm[1] 334 (τίνα – 652 γνῶθι del. Paley[3]) δοκεῖ Π3MO^{a2}*δ*NQ^{a}: δοκεῖ σοι HB^{c}V^{c}: δοκεῖς cett. 651 τῶνδε H + OQ^{2}K 652 fin. πα[vel πλ[Π3 (πά[λιν Dawe[1] 154, cf. ad 613: πά[τραν Roberts) 653]θεον[μ]εγα Π3 655 ᾤμοι Ba: ὤμοι (M) sive ὤμοι *Ω* δὲ H*δ* 656 κλάειν A*κ* 657 δυσφορώτατος H + Y + *δκ* 658 fort. δὴ πολυνείκη M^{a}H + *ε*Q 659 τἀπίσημ' IB ὅποι MIBOQ^{a}?: ὅπου B^{ss}N +: ὅπη cett. (Y non leg.)

ἐπ' ἀσπίδος φλύοντα σὺν φοίτωι φρενῶν.
εἰ δ' ἡ Διὸς παῖς παρθένος Δίκη παρῆν
ἔργοις ἐκείνου καὶ φρεσίν, τάχ' ἂν τόδ' ἦν·
ἀλλ' οὔτέ νιν φυγόντα μητρόθεν σκότον
οὔτ' ἐν τροφῆσιν οὔτ' ἐφηβήσαντά πω
οὔτ' ἐν γενείου ξυλλογῆι τριχώματος
Δίκη προσεῖδε καὶ κατηξιώσατο·
οὐδ' ἐν πατρώιας μὴν χθονὸς κακουχίαι
οἶμαί νιν αὐτῶι νῦν παραστατεῖν πέλας·
ἦ δῆτ' ἂν εἴη πανδίκως ψευδώνυμος
Δίκη, ξυνοῦσα φωτὶ παντόλμωι φρένας.
τούτοις πεποιθὼς εἶμι καὶ ξυστήσομαι
αὐτός· τίς ἄλλος μᾶλλον ἐνδικώτερος;
ἄρχοντί τ' ἄρχων καὶ κασιγνήτωι κάσις,
ἐχθρὸς ξὺν ἐχθρῶι στήσομαι. φέρ' ὡς τάχος
κνημῖδας, αἰχμῆς καὶ πτερῶν προβλήματα.
ΧΟ. μή, φίλτατ' ἀνδρῶν, Οἰδίπου τέκος, γένηι
ὀργὴν ὅμοιος τῶι κάκιστ' αὐδωμένωι·
ἀλλ' ἄνδρας Ἀργείοισι Καδμείους ἅλις
εἰς χεῖρας ἐλθεῖν· αἷμα γὰρ καθάρσιον·
ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτοκτόνος,
οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος.

661 cf. Hsch. φ 723

---

662 παρῆν δίκη *λ* **664** οὔτέ sic *β* O *δ ε λ*, οὔτ||| M **665** τροφαῖσιν *Ω* **666** ξυλλογῆ M^{t}: συλλ- M^{s} cett. **667** προσεῖδε Martini ex Σ: προσεῖπε *Ω* **668** οὐδ' *κ λ*: οὔτ' cett. **669** παριστάναι *λ*: παρεστάναι P$^{\gamma\rho}$ **670** ἦ δῆτ' nonnulli **674** τ'] γὰρ I B + Xc^{a}?: γ' Xc^{r} **675** ξὺν Brunck^{1}: σὺν *Ω* **676** αἰχμῆς M H B^{a1} *δ* Q^{a2}: -ὰς I: -ὴν cett. πτερῶν H^{a} *δ* Q$^{\times}$ K$^{\gamma\rho}$ Θ$^{\gamma\rho}$: πετρῶν cett. (πέτρων Paley^{1}) **678** ὁρμὴν H^{c} B V^{a*} ὁμοῖος properisp. M I H + *γ* A W$^{\times}$ D^{c}: ὁμοίως B D^{a} K *λ* **681** αὐτοκτόνως *δ* V + **682** γῆρας M *a* H$^{\gamma\rho}$ O$^{\gamma\rho}$ A$^{\gamma\rho}$ D$^{\gamma\rho}$ *κ* Θ: πέρας I$^{\gamma\rho}$ K$^{\gamma\rho}$ cett.

ΕΤ. εἴπερ κακὸν φέροι τις, αἰσχύνης ἄτερ
ἔστω· μόνον γὰρ κέρδος ἐν τεθνηκόσιν·
κακῶν δὲ καἰσχρῶν οὔτιν' εὐκλείαν ἐρεῖς.

ΧΟ. τί μέμονας τέκνον; μή τί σε θυμοπλη- str. 1
θὴς δορίμαργος ἄτα φερέτω· κακοῦ δ'
ἔκβαλ' ἔρωτος ἀρχάν.
ΕΤ. ἐπεὶ τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεός,
ἴτω κατ' οὖρον, κῦμα Κωκυτοῦ λαχόν,
Φοίβωι στυγηθὲν πᾶν τὸ Λαΐου γένος.

ΧΟ. ὠμοδακής σ' ἄγαν ἵμερος ἐξοτρύ- ant. 1
νει πικρόκαρπον ἀνδροκτασίαν τελεῖν
αἵματος οὐ θεμιστοῦ.
ΕΤ. φίλου γὰρ ἐχθρά μοι πατρὸς †τελεῖ† ἀρά
ξηροῖς ἀκλαύτοις ὄμμασιν προσιζάνει,
λέγουσα κέρδος πρότερον ὑστέρου μόρου.

ΧΟ. ἀλλὰ σὺ μὴ'ποτρύνου· κακὸς οὐ κεκλή- str. 2
σηι βίον εὖ κυρήσας· μελάναιγις {δ'} ἔξ-
εισι δόμων Ἐρινύς, ὅταν ἐκ χερῶν
θεοὶ θυσίαν δέχωνται.

683 φέρει *a*B*γ*W^{t}D 684 γὰρ post κέρδος HK, ante μόνον B ἐν MO*κλ*: ἓν cett. 685 εὔκλειαν *Ω* (-άν γ' T) 686 πῆ μέμονας M. Schmidt[6] 584 (oportebat πᾶι) μέμονας M^{a2}I$O^{a1}$$Θ^{γρ}$: μέμηνας Φ cett. τέκος (677) P^{t}Ξa τί σε LcΞa^{a2}: τίς σε *Ω* 687 δορὶ μάργοσ M: δορύμ- Y+ (non Φ) 693 πικρόκαρπος Σ ἀνδροηλασίαν M^{a2} 694 θεμιστοῦ MO: θεμιτοῦ cett. 695 ἐχθρά B^{t}O + $D^{γρ}$*κλ*: αἰσχρά cett. τελεῖ MI*β* (post ἀρὰ BC) *γε*, τελεῖ' $Σ_{I}^{γρ}$WD, τέλει' A, τέλεί' Q, τελεῖ γ' K, τελεία $B^{γρ}$$γ^{gl}$*λ*: τέλεος Young[3] 25: τάλαιν' (cf. Ag. 223.385. Eur. Hipp. 1241) Wordsworth[1] 222: μέλαιν' (832) Weil[1] 233 696 ἀκλαύτοις $I^{γρ}$: ἀκλαύστοις *Ω* 699 δ' del. D'Arnaud 196 ἔξεισι Weil[7]: οὐκ εἶσι Σ*Ω* 700 δόμων ΣMQT: δόμον

ΕΤ. θεοῖς μὲν ἤδη πως παρημελήμεθα,
χάρις δ' ἀφ' ἡμῶν ὀλομένων θαυμάζεται·
τί οὖν ἔτ' ἂν σαίνοιμεν ὀλέθριον μόρον;

ΧΟ. μίμν' ὅτε σοι παρέστακεν, ἐπεὶ δαίμων ant. 2
λήματος ἂν τροπαίαι χρονίαι μεταλ-
λακτὸς ἴσως ἂν ἔλθοι θελεμωτέρωι
πνεύματι· νῦν δ' ἔτι ζεῖ.
ΕΤ. ἐξέζεσεν γὰρ Οἰδίπου κατεύγματα·
ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων
ὄψεις, πατρώιων χρημάτων δατήριοι.

ΧΟ. πείθου γυναιξί, καίπερ οὐ στέργων ὅμως.
ΕΤ. λέγοιτ' ἂν ὧν ἄνη τις· οὐδὲ χρὴ μακράν.
ΧΟ. μὴ ἔλθῃς ὁδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις.
ΕΤ. τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγωι.
ΧΟ. νίκην γε μέντοι καὶ κακὴν τιμᾶι θεός.
ΕΤ. οὐκ ἄνδρ' ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος.

713 (ἄνη) Hsch. α 5030

ΦΘ cett.: δόμους Brunck[1]: δόμονδ' Merkelbach[2] 13 ὅτ'ἂν Mζ[γρ]Rb[c?], ὥτ'ἂν H[a]: οὔτ'ἂν cett. ὅτ' ἀπ' ἐσχαρᾶν Hutchinson[2] (praeeuntibus Burges[8] 129, Maas[6])

705 μίμν' West[7]: νῦν *Ω* ὅτι Rob. πάρεστ' εἶξον Page[3] praeeunte Tucker[4]: νῦν ἔτι σοι πάρεστ' ἄκος Brown[6] 706 αὖ Paley[2] cl. Pers. 942 707 θελεμωτέρωι Conington[4]: θαλλωτέρω M[a2]: θαλερωτέρω cett. 709 ἐξέζεσαν M[a2]B[1]Y (-ευσαν) *δε* 710 ἐνυπνίων φασμάτων IP[γρ]: φασμάτων ἐν- *κ*: φαντασμάτων ἐν- *λ* 711 δοτήριοι M[a2] (sed gl. μερισταί) 712 πιθοῦ Blomf.[4]; cf. Supp. 527, Prom. 1039, Fraenkel[1] ad Ag. 1054 713 ἄνη τίς M: ἄνυτις HO*δ*V*κλ*: ἄνυσις cett. M[2] μακρά *κ* 715 ἀπαμβλύνεις Rc[a]

ΧΟ. ἀλλ’ αὐτάδελφον αἷμα δρέψασθαι θέλεις;
ΕΤ. θεῶν διδόντων οὐκ ἂν ἐκφύγοις κακά.

ΧΟ. πέφρικα τὰν ὠλεσίοικον — str. 1
θεὸν οὐ θεοῖς ὁμοίαν,
παναλαθῆ κακόμαντιν
πατρὸς εὐκταίαν Ἐρινύν,
τελέσαι τὰς περιθύμους
κατάρας Οἰδιπόδα βλα-
ψίφρονος· παιδολέτωρ δ’ ἔρις ἅδ’ ὀτρύνει.

ξένος δὲ κλήρους ἐπινωμᾶι, — ant. 1
Χάλυβος Σκυθᾶν ἄποικος,
κτεάνων χρηματοδαίτας
πικρός, ὠμόφρων Σίδαρος,
χθόνα ναίειν διαπήλας
ὁπόσαν καὶ φθιμένοισιν
κατέχειν, τῶν μεγάλων πεδίων ἀμοίρους.

ἐπεὶ δ’ ἂν αὐτοκτόνως — str. 2
αὐτοδάϊκτοι θάνωσι καὶ γαῖα κόνῑς
πίηι μελαμπᾶγὲς αἷμα φοίνιον,

719 ἐκφύγοις M^{t}: -οι fere cett. 720 ἔφριξα $B^{γρ}$, πέφριξα H^{t} ὠλεσί- MBO*λ*: οὐλεσί- H: ὀλεσι- cett. 721 post h. v. sch. ἃ γὰρ νύκτωρ παρεκελεύσατο καὶ γέγονε in textu habent codd. praeter MKT (in mg. K) 722 παναληθῆ *Ω*: corr. Dind.[5] (cf. 946) 725 βλαψίφρονος (-ας $H^{a1}N^{ss}$+) οἰδιπόδα (-ποδος V, -πόδαο $HB^{c?}Y$) *Ω*: corr. T 726 δ’ om. $I^{t}V$ 727 κλήρους M^{a}?Θ*ξ*: -οις cett. 728 σκυθῶν *Ω*: corr. Dind.[12] 732 καὶ] ἂν καὶ W*ε*Q^{c}*λ* φθιμένοισι *Ω* (-σιν T): φθιμένους (Bourdelot) ⟨ἂν⟩ Blomf.[4], ⟨ἐγ⟩κατέχειν Headlam[5] 57 734 αὐτοκτόνως *κλ*: αὐτόκτονοι Fb^{c}: αὐτοκτόνωσιν M^{a}: αὐτοκτάνωσιν M^{s}I: αὐτοὶ κτάνωσι(ν) cett. 736 γαῖα Dind.[4] 640: χθονία *Ω*: νερτέρα Weil[7]: κἀγχωρία Newman[1] 56

τίς ἂν καθαρμοὺς πόροι;
τίς ἄν σφε λύσειεν; ὢ πόνοι δόμων
νέοι παλαιοῖσι συμμιγεῖς κακοῖς.

παλαιγενῆ γὰρ λέγω ant. 2
παρβασίαν ὠκύποινον, αἰῶνα δ' εἰς τρίτον
μένει⟨ν⟩, Ἀπόλλωνος εὖτε Λάϊος
βίαι, τρὶς εἰπόντος ἐν
μεσομφάλοις Πυθικοῖς χρηστηρίοις
θνάισκοντα γέννας ἄτερ σώιζειν πόλιν,

κρατηθεὶς ἐκ φίλων ἀβουλιᾶν str. 3
ἐγείνατο μὲν μόρον αὐτῶι
πατροκτόνον Οἰδιπόδαν,
ὅστε ματρὸς ἁγνάν
σπείρας ἄρουραν ἵν' ἐτράφη,
ῥίζαν αἱματόεσσαν,
ἔτλα· παράνοια συνᾶγε
νυμφίους φρενώλης·

738 καθαρμὸν W*ε*M^{2} 739 λύσειεν Σ: λούσειεν *Ω* 740 παλαιοῖσι Q*λ*: -οῖς cett. 741 ξυμμ- M^{s}I*β*O 743 παρβασίαν Porson[1]: παραβ- MH^{1}BO + N*ϰ*: παραιβ- cett.: πάρβασιν ⟨οὐκ⟩ Hutchinson[2] ὀξύποινον Weil[7]: οὐκ ἄποινον Hartung 745 μένει *Ω* (μένοι Q^{c}G, μενεῖ *λ*): corr. Wil.[10] 26/201 748 θνάισκ- M^{a}, θνάσκ- M^{c}Q*λ*: θνήσκ- cett. 750 ἐκ Σ?I: δ'ἐκ ΜΦΘ cett. φιλᾶν nol. Wil.[18] 80 n. 1; v. Supp. 1051. Eum. 845. Blass[2] I 523. Schwyzer Gramm. I 559 ἀβουλίαν M: -ίαις I^{c}?*δε*: -ίας $I^{a?}$Ξa^{ss}: -ία cett. Θ: corr. Dind.[11] lx, cf. Σ τῶν αὐτῶι φίλων ἡδονῶν 751 ἐγείνατο Q^{a}*λ*: γείνατο cett. 752 οἰδιπόδαν MI^{c}*β*O: οἰδίποδα fere cett. (-πόδα I^{a}) 753 ματρὸς MG, μρ̀ς $I^{γρ}$$O^{a}$, μητρὸς X: μρ̀ς πρὸς Y: μὴ πρὸς Θ cett. 756 σύναγε MI*δε*: συνάγαγε (Q*λ*) vel -ήγαγε(ν) cett.: corr. Blomf.[4] 192 757 φρενώλης ΣM^{a2}: πανώλης I^{t}: πανώλεις $Σ_{I}^{γρ}$: φρενώλεις Φ cett.

κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει ant. 3
τὸ μὲν πίτνον, ἄλλο δ' ἀείρει
τρίχαλον, ὃ καὶ περὶ πρύμ-
ναν πόλεως καχλάζει.
μεταξὺ δ' ἄλκαρ ὅδ' ὀλίγωι
τείνει πύργος ἐν εὔρει,
δέδοικα δὲ σὺν βασιλεῦσι
μὴ πόλις δαμασθῆι.

τελειᾶν γὰρ παλαιφάτων ἀρᾶν str. 4
βαρεῖαι καταλλαγαί,
τὰ δ' ὀλο(ὰ) {τελούμεν'} οὐ παρέρχεται·
πρόπρυμνα δ' ἐκβολὰν φέρει
ἀνδρῶν ἀλφηστᾶν
ὄλβος ἄγαν παχυνθείς.

τίν' ἀνδρῶν γὰρ τοσόνδ' ἐθαύμασαν ant. 4
θεοί τε ξυνέστιοι {πόλεως}
πολύβατός τ' ἀγὼν βροτῶν,

773 cf. Hsch. σ 2548

---

759 πιτνὸν fere *Ω*: corr. TF^{γρ} 760 τροχαλὸν H^{c}B*λ*: Hsch. τριχὴν· τρικόρυφον huc rettulit Wakefield[1] 63: an τρίκαλον (κήλη)? 762 ἄλκαρ Blomf.[4]: ἀλκὰ *Ω* ὅδ' ὀλίγωι Weil[14] 32: δι' ὀλίγου Σ*Ω* 763 πύργου I^{ss}YA^{γρ} ἐν ἄρει O[2] 766 τελειᾶν Dind.[6] xxvii: τέλεια ΣM^{c}I^{t}: τέλειαι M^{a}Φ fere cett. (-οι YL^{a}) παλαιφάτων MIB^{a}: παλαίφατοι Φ cett. ἀρᾶν Bothe[2] (-ῶν id.[1]): ἀραὶ *Ω* 768 τελούμεν' *β*ON et leg. vel intelleg. ΣΦ: τελόμεν' M^{c}WV + *κ*: τελλόμεν' YAD*λ*: πελόμεν' M^{a}I: del. Page[3] fort. οὐσπαρέρχεται M vel M^{c}: πενομένους παρ- Bücheler[1] 318/204 770 ἀλφηστᾶν M: -ῶν cett. 772 τοσόνδε γ' QFcF^{a}: τοσόν γ' vel τόσον γ' *λ*Fd 773 τε Mazon: καὶ *Ω* (δὲ καὶ VG) πόλεως del. Page[3] 774 πολύβατος Blomf.[4] ex Σ: πολύβοτος *Ω* ἀγὼν Weil[7]: αἰὼν Σ*Ω* cf. Pind. fr. 75.3–5

ὅσον τότ' Οἰδίπουν τίον
τὰν ἁρπαξάνδραν
κῆρ' ἀφελόντα χώρας;

ἐπεὶ δ' ἀρτίφρων ἐγένετο str. 5
μέλεος ἀθλίων γάμων,
ἐπ' ἄλγει δυσφορῶν
μαινομέναι κραδίαι
δίδυμ' ἃ κάκ' ἐτέλεσεν
πατροφόνωι χερί, τῶν κρεισσοτέρων
γνωμάτων ἐπλάγχθη,

τέκνοις δ'†ἀραίας† ἐφῆκεν ant. 5
ἐπίκοτος τροφᾶς, αἰαῖ,
πικρογλώσσους ἀράς,
καί σφε σιδαρονόμωι
διὰ χερί ποτε λαχεῖν
κτήματα· νῦν δὲ τρέω μὴ τελέσηι
καμψίπους Ἐρινύς.

791 Tz. Exeg. Il. 15.24 H.

---

776 τὰν ἁρπ- Hermann[13] 190: ἀναρπ- ΣΩ: ἁρπ- Xc(-άξανδρον)Ξa[c]: ἀναρπάξανδρον Blomf.[2] 164, [3]491: τὰν ἁρπάξανδρον Todt[1] 5. cf. Ag. 689 781 κραδίη O, -ία T: καρδία(ι) cett. 782 δίδυμα Ω 783 sq. κρεισσοτέρων γνωμάτων West[7]: κρεισσοτέκνων *ακ*, κρείσσω τέκνων M[a2]*βδε*Q[1], κρεισσόνων τέκνων *γλ* (incertum quid Σ; τεκν ex 785 ortum), deinde δ' ἀπ' ὀμμάτων fere Ω (δ' om. IO, ἀπ' om. QHa): δωμάτων Schütz[2] 785 τ' TF ἀγρίας M. Schmidt[5] 630: ἀθλίας Prien[6] 38: τέκνοισιν δ' ἀρὰς Hermann[29] 16/204 786 ἀφῆκεν B[t]O*λ* ἐπίκοτος Heath: -κότους ΣΩ τροφᾶς B[×] + *δ*: -ὰς Σ cett. 788 καί] ἤ Fd[1]U[ss]Δ: ἦ Heimsoeth[2] 62: possis ὥς 789 διαχειριᾳ Ω: corr. Porson[1]

ΑΓ. θαρσεῖτε παῖδες †μητέρων† τεθραμμέναι·
πόλις πέφευγεν ἥδε δούλιον ζυγόν.
πέπτωκεν ἀνδρῶν ὀβρίμων κομπάσματα,
πόλις δ' ἐν εὐδίαι τε καὶ κλυδωνίου
πολλῆσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο.
στέγει δὲ πύργος, καὶ πύλας φερεγγύοις
ἐφαρξάμεσθα μονομάχοισι προστάταις.
καλῶς ἔχει τὰ πλεῖστ', ἐν ἓξ πυλώμασιν·
τὰς δ' ἑβδόμας ὁ σεμνὸς ἑβδομαγέτας
ἄναξ Ἀπόλλων εἵλετ', Οἰδίπου γένει
κραίνων παλαιὰς Λαΐου δυσβουλίας.
ΧΟ. τί δ' ἐστι πρᾶγμα νεόκοτον πόληι πλέον;
ΑΓ. {πόλις σέσωσται· βασιλεῖς δ' ὁμόσποροι}
ἄνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων.
ΧΟ. τίνες; τί δ' εἶπας; παραφρονῶ φόβωι λόγου.
ΑΓ. φρονοῦσά νυν ἄκουσον· Οἰδίπου γένος –
ΧΟ. οἴ'γὼ τάλαινα· μάντις εἰμι τῶν κακῶν.

792 θ. ἀρίστων μ. Wecklein[11]: fort. θ. παῖδες εὐγενῶν cf. Supp. 600, Soph. Ai. 1229, Ph. 3 post h. v. e. g. ⟨τῶν ἐν πόλει Θήβαισιν εὐγενεστάτων⟩ Blomf.[4] 793 δούλιον H K R[a2]: -ειον cett. 794 πέπτωκεν δ' M: -κε δ' Burgard 37 795 ἐνευδιᾶι τε κἀν Tucker[4] 796 πολλαῖσι *Ω* 797 fort. τε 798 ἐφραξάμεθα *Ω* (-μεσθα *λ*): corr. Dind.[4] post h. v. chori interrogationem desid. Butler 799 καλῶς δ' M[s] Q Lc G 803–21 locus fort. retractatus. proelii narrationem longiorem desid. Wil.[1] 46 n.; cf. Von der Mühll[2] 803 fort. τί ἐστι (Pers. 693) πρᾶγος (861) Q Lc G νεότοκον O[2] Q[2] L[c] + πόλει *Ω* πλέον M *αβ* Y + A: παρὸν H[2γρ](-ὼν) B[2γρ] cett. 804 (cf. 820) om. I, damn. Porson[1] βασιλέως M H[a] O[1] A +: -λέες T: -λέων Ya ὁμόσπορον Y: -σπόροιν P[γρ] 805 post 810 (servato 804) Hermann[32] ἄνδρες *Ω*: corr. Porson[1] 806 τί δ'] τίν' A[a]? Rc 807 νῦν *Ω*: corr. Blaydes[2] τόκοσ M (γένος M[s]): τόκοι Heimsoeth[2] 24 808 μάντίς εἰμι sic M[s]

ΑΓ. οὐδ' ἀμφιλέκτως μὴν κατεσποδημένοι –
ΧΟ. ἐκεῖθι κεῖσθον; βαρέα δ' οὖν ὅμως φράσον.
ΑΓ. οὕτως ὁμαίμοις χερσὶν ἠναίροντ' ἄγαν
αὐτούς· ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα·
αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος.
τοιαῦτα χαίρειν καὶ δακρύεσθαι πάρα,
πόλιν μὲν εὖ πράσσουσαν, οἱ δ' ἐπιστάται,
δισσὼ στρατηγώ, διέλαχον σφυρηλάτωι
Σκύθηι σιδήρωι κτημάτων παμπησίαν·
ἕξουσι δ' ἣν λάβωσιν ἐν ταφῆι χθονός,
πατρὸς κατ' εὐχὰς δυσπότμως φορούμενοι.
{πόλις σέσωται· βασιλέοιν δ' ὁμοσπόροιν
πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνωι.}

817 (– σιδ.) St. Byz. 578.15

---

809 μὴν] νῦν H O **810** κεῖσθον M^{t}: κῆλθον Σ M^{s} cett. **811** οὕτως] αὐτοὺς Hartung ὁμαίμοις (cf. 940) Weil[7]: ἀδελφαῖς *Ω* ἠναίρονθ' ἅμα et 812 ἀμφοῖν ἄγαν Nauck[0] **812** choro trib. I*βγδελ* αὐτούς· West[7]: οὕτως (811) *Ω* **813** δ'] γὰρ T: γ' M^{s} **814** δακρύεσθαι M^{t}*ακ*: -σεσθαι M^{s}B*γ*AD: -σασθαι HW*ελ* **815–7** del Gilbert[2] 297, **818–9** Dind.[4]: stent aut cadant una, cf. 727–33. convenit sane 814 in finem orationis, cf. Pers. 470–1 **818** λάχωσιν Verrall[5] ad 898 τάφω Q*λ* χθόνα Y **819** δυσπότμως Lc^{t}Ya: -ους *Ω* **820–1** del. Butler: facti sunt, puto, ut pro 805–19 starent (contrarium voluit Verrall[5]), quare 820 corrupte etiam post 803 traditur **820** σέσωται M: σέσωσται fere cett. βασιλέοιν XK^{a}Lc, -είοιν *Ω* (ων vel εων ss. H^{1}B^{1}O^{2}Q^{2} vulgari dualis interpretamento): -έωιν Murray[1] **821** πέπωκεν M B^{1} O^{γρ} A D K^{γρ}: πέπτωκεν (794) cett. γᾷ vel γᾶ *a*N +: γᾶν M^{a}H Y Q ἐπαλλήλωι Wecklein[11]

ΧΟ. ὦ μεγάλε Ζεῦ καὶ πολιοῦχοι
δαίμονες, οἳ δὴ Κάδμου πύργους
τούσδε ῥύεσθαι ⟨ ⟩,
πότερον χαίρω κἀπολολύξω
πόλεως ἀσινεῖ †σωτῆρι†
ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας
ἀτέκνους κλαύσω πολεμάρχους,
οἳ δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν
⟨ἐτεοκλειεῖς⟩ καὶ πολυνεικεῖς
ὤλοντ' ἀσεβεῖ διανοίαι;

ὦ μέλαινα καὶ τελεία str. 1
γένεος Οἰδίπου τ' ἀρά,
κακόν με καρδίαν τι περιπίτνει κρύος.
ἔτευξα τύμβωι μέλος
θυιὰς αἱματοσταγεῖς

822–3 (– πολ. θεοί) Tz. in Hes. Op. 118; (– Ζεῦ) id. Exeg. Il. 121.20 H., Eu. 1214.56, 1843.17; (πολ.) Hsch. π 2786

